# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΘΕΩΝΑ
# ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Οὗ ἡ Μνήμη τῇ δ΄ Ἀπριλίου.

Ποιηθεῖσα
ὑπὸ τοῦ ταπεινοῦ Ἐπισκόπου Κυρίλλου, τοὐπίκλην Κογεράκη,
Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου.

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β΄. Αἱ Ἀγγελικαί.

Δεῦτε οἱ πιστοί, εὐφημήσωμεν συμφώνως, ᾄσμασι τερπνοῖς, Θεωνᾶ τὸν θεοφόρον· ἀσκήσει γὰρ ἐμπρέψας, Ἱεράρχης καὶ πρόεδρος, ὤφθη ἱερὸς Θεσσαλονίκης, καὶ τοῦ Χριστοῦ πιστὸς θεράπων, πρὸς ὃν κράξωμεν· Πρέσβευε Πάτερ τῷ Θεῷ, ὑπὲρ τῶν τιμώντων σε.

Ταῖς ἀσκητικαῖς, ἀριστείαις σου δοξάσας, Πάτερ Θεωνᾶ, τὸν φιλάνθρωπον Δεσπότην, αὐτός σε ἐν λυχνίᾳ, Ἐκκλησίας ἀνύψωσε, λύχνον ὡς λαμπρὸν φαίνοντα πᾶσι, τῆς εὐσεβοῦς διδασκαλίας, τὸ φῶς Ὅσιε, καὶ καταυγάζοντα πιστούς, τοὺς σὲ μακαρίζοντας.

Πόθῳ θεϊκῷ, Ἰακώβῳ μαθητεύσας, τῷ ἐν Μοναστaῖς, καὶ ἐν Μάρτυσιν ἐνδόξῳ, τῆς ἄνωθεν σοφίας, ὑπεδέξω τὴν ἔλλαμψιν, Πάτερ Θεωνᾶ ἡγιασμένε, καὶ τῷ λαῷ τῶν Ὀρθοδόξων, ἐξανέτειλας, τῶν χαρισμάτων σου αὐγαῖς, φωστὴρ ὡς ὑπέρλαμπρος.

Χαίρει ἐπὶ σοί, ἡ γεννήσασα σε Λέσβος, Πάτερ Θεωνᾶ, ἐκτελοῦσά σου τὴν μνήμην, καὶ πόθῳ σοι κραυγάζει, σοῖς σπαργάνοις κομπάζουσα· Χαίροις ὁ ποιμὴν Θεσσαλονίκης, ὑπὲρ λαοῦ τοῦ σὲ ὑμνοῦντος, καθικέτευε, ὡς παῤῥησίαν πρὸς Θεόν, κτησάμενος ἄπειρον.

Δόξα. Ἦχος α΄.

Αι᾿σματικῶς τὸν Ἱεράρχην τιμήσωμεν, Θεωνᾶ τὸν ἰσάγγελον, τῆς Λέσβου τὸ βλάστημα, τοῦ Ἄθω τὴν εὐκοσμίαν, καὶ Θεσσαλονίκης τὸν πρόεδρον· ἀσκητικῶς γὰρ βιώσας, καὶ ὡς ποιμὴν καλὸς διαπρέψας, τῶν ἀπ᾿ αἰώνων ἐκλεκτῶν, τοῖς χοροῖς συνηρίθμηται· μεθ᾿ ὧν πρεσβεύει ἐκτενῶς , τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Χαίροις παρ᾽ ἡμῶν, Ἁγία Θεοτόκε Παρθένε, τὸ σεπτὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης, ἡ λαμπὰς ἡ ἄσβεστος, τὸ χωρίον τοῦ ἀχωρήτου, ὁ ναὸς ὁ ἀκατάλυτος. Χαίροις ἐξ ἧς Ἀμνὸς ἐτέχθη, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Χρίσματι Θεωνᾶ, χρισθεὶς τοῦ Παρακλήτου, Ἀρχιερεὺς ἐδείχθης, σοφὸς τῆς Ἐκκλησίας, καὶ τῶν πιστῶν διδάσκαλος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίρει ὦ Θεωνᾶ, ἡ Λέσβος ἡ πατρίς σου, τελοῦσά σου τὴν μνήμην, ἣν φύλαττε ἐκ πάσης, ἐπιβουλῆς ἀλώβητον.

Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Πρέσβευε Θεωνᾶ, Θεῷ τῷ ἐν Τριάδι, ἵνα σωθῶμεν Πάτερ, οἱ πόθῳ ἐκτελοῦντες, τὴν θείαν σου πανήγυριν.

Δόξα. Ἦχος γ'.

Α᾽νέτειλε σήμερον, ὡς ἥλιος ἡ μνήμη σου, φωτίζουσα Ὀρθοδόξων τὸ πλήρωμα, φωστὴρ Θεσσαλονίκης, Θεωνᾶ θαυματουργέ, Μοναστῶν ἀγλάϊσμα, Ἀρχιερέων δόξα, καὶ Λέσβου τὸ ἐντρύφημα. Ὅθεν ἡμᾶς, τοὺς ἐν αὐτῇ συναθροισθέντας, καταύγασον τῷ φωτισμῷ, ἧς ἔχεις πλουσίας χάριτος.

Καὶ νῦν. Θεοτοκίον.

Ε᾽ν γυναιξὶν ἁγία Θεοτόκε, Μήτηρ ἀνύμφευτε, πρέσβευε ὃν ἔτεκες, Βασιλέα καὶ Θεόν, ἵνα σώσῃ ἡμᾶς ὡς φιλάνθρωπος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. η′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε πιστοὶ συνελθόντες, πανηγυρίσωμεν, τὴν φωτοφόρον μνήμην, τοῦ σοφοῦ Ἱεράρχου, αὐτῷ ἀναβοῶντες πόθῳ ψυχῆς· Θεωνᾶ παμμακάριστε, ὡς παῤῥησίαν πλουτήσας πάντων ἡμῶν, ὑπερεύχου τῶν τιμώντων σε.

Ἡ΄ νῆσος Λέσβος χορεύει, ἐπιτελοῦσά σου, τὴν σεβασμίαν μνήμην, ἐν τερπνοῖς ἐγκωμίοις, καὶ σπάργανα τιμῶσα Πάτερ τὰ σά, Θεωνᾶ ἀνακράζει σοι· Φρουρὸς πατρίδος καὶ πρόμαχος σαῖς εὐχαῖς, ἔσο πάντοτε μακάριε.

Ἀ΄σκητικῶς διαπρέψας, Χριστοῦ τῷ ἔρωτι, καὶ ἀρετῶν τὸν πλοῦτον, μυστικῶς θησαυρίσας, ἐδείχθης Ἐκκλησίας θεῖος ποιμήν, Θεωνᾶ παναοίδιμε, καὶ τὸν λαὸν τοῦ Κυρίου πρὸς τὴν νομήν, εὐσεβείας καθωδήγησας.

Τῶν μοναζόντων ἐμπρέψας, τοῖς ἀριστεύμασι, τῆς ἀρχιερωσύνης, ὑπεδέξω τὴν χάριν, καὶ Ἄγγελος καθάπερ σὺ τῷ Θεῷ, Θεωνᾶ ἐλειτούργησας· διὸ Ἀγγέλοις ἐν πόλῳ συνομιλῶν, τῶν ὑμνούντων σε προστάτευε.

Ἕτερα. Ἦχος πλ. δ′. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Θεωνᾶ μακάριε, ἀσκητικαῖς ἀγωγαῖς, καθαρθεὶς τὴν καρδίαν σου, Ἱεράρχης πέφηνας, Ἐκκλησίας θεόσοφος, καὶ τὸ δοθέν σοι τάλαντον ηὔξησας, περιουσίᾳ τῶν χαρισμάτων σου. Ὅθεν ἐν ᾄσμασι, σήμερον τιμῶμέν σε οἱ εὐσεβεῖς, τὴν ἁγίαν μνήμην σου, πανηγυρίζοντες.

Πάτερ Θεωνᾶ μακάριε, πεφυτευμένος Θεοῦ, ἐν τῷ οἴκῳ ἐξήνθησας, ἀρεταῖς τοῦ Πνεύματος, ὥσπερ φοίνιξ ὑψίκομος, καὶ ὡσεὶ κέδρος ἐκαρποφόρησας, καρποφορίαν θείαν τῆς χάριτος, εὐφραίνων Ἅγιε, εἰς αἰῶνας ἅπαντας τοὺς εὐσεβῶς, ἐκτελοῦντας μνήμην σου, τὴν ἀξιέπαινον.

Πάτερ Θεωνᾶ μακάριε, Θεσσαλονίκης σοφῶς, κυβερνήσας τὸ ποίμνιον, πρὸς Θεὸν ἀνέδραμες, ὃν σφοδρῶς ἐπεζήτησας, ᾧ καὶ πρεσβεύων μὴ παύσῃ Ἅγιε, ὑπὲρ τῶν πόθῳ ἀναβοώντων σοι· Χαίροις μακάριε, κλέος περιλάλητον Ἱεραρχῶν, μοναζόντων καύχημα, πιστῶν ἀγλάϊσμα.

Πάτερ Θεωνᾶ μακάριε, χαίρει μεγίστην χαράν, ἐπὶ σοὶ Λέσβος σήμερον, μνήμην σου τὴν πάντιμον, εὐσεβῶς ἑορτάζουσα, καὶ ὡς πατρίς σου, τὴν προστασίαν σου, ἐπικαλεῖται, ἀνακραυγάζουσα· Χαίροις θεόσοφε, δόξα καὶ εὐπρέπεια Ἱεραρχῶν, μοναζόντων καύχημα, καὶ ἐγκαλλώπισμα.

Δόξα. Ἦχος πλ. α'.

Πανήγυρις σήμερον φαιδρά, τῇ Ἐκκλησίᾳ τῶν πιστῶν ἐξανέτειλε, Θεωνᾶ ἡ μνήμη τοῦ οὐρανόφρονος, τὰς διανοίας ἡμῶν καταυγάζουσα, τῶν εὐσεβῶς ἀναβοώντων· Χαίροις ὁ ἐκ νεότητος, τῷ ἐν Τριάδι Θεῷ ἀνατεθείς, καὶ μοναζόντων διαπρέψας, τοῖς ὑπὲρ νοῦν ἀγωνίσμασι· Χαίροις ψήφῳ τοῦ Πνεύματος, Θεσσαλονίκης ἐν θρόνῳ ἀνελθών, καὶ ἀνατείλας ἐκεῖθεν, ὡς φωστὴρ μέγας τῆς πίστεως· Χαίροις τῆς Λέσβου ὁ βλαστός, τῶν μοναζόντων ὁ λύχνος, καὶ Ὀρθοδόξων ὁ διδάσκαλος. Παῤῥησίαν ὡς ἔχων πρὸς Χριστόν, τὴν εἰρήνην αἴτει, ταῖς ψυχαῖς τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ε᾿ν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου Νύμφης, εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ, Μωϋσῆς διαιρέτης τοῦ ὕδατος· ἐνθάδε, Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. Τότε, τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ· νῦν δέ, τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. Ἡ θάλασσα, μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος, μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος Θεός, ἐλέησον ἡμᾶς.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. ι', 7,6· γ', 13-15· η',6,34,35,4,12,14,17,5-9· κβ',21, 19· ιε', 4)

Μνήμη δικαίου μετ᾿ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν εἰσακούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· Ὅτι ἐγὼ ἡ σοφία κετεσκήνωσα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην· ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ

δὲ ἰσχύς· ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε, τοίνυν ἄκακοι, πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες· πάντα ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐπὶ Κύριον ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ′, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε′, 15-23, στ′ 1,3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ

σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α'.

Ἡ Λέσβος σήμερον ἀγάλλεται, Θεωνᾶ Ἱεράρχα μακάριε, ὡς μήτηρ καλλίτεκνος, ἐπὶ τέκνῳ ἐκλεκτῷ εὐφραινομένη· ἐξ αὐτῆς γὰρ ἐβλάστησας, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καὶ καρποφορίαν ἀγαθήν, ἐν γεωργίᾳ χάριτος ἐξήνεγκας, τὰς ἀσκητικὰς ἀρετάς σου, καὶ ποιμασίας σου τὰ προτερήματα· διὸ καὶ τὴν μνήμην σου ἐπιτελοῦσα, ἐν ἀγαλλιάσει ἀνακράζει σοι· Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπον, θαυματουργέ ἀξιοθαύμαστε, μὴ παύσῃ ὑπὲρ πατρίδος, καὶ τοῦ λαοῦ σου δεόμενος.

Ἦχος β'.

Ἀσκητικῶς προκαθαρθείς, ἀρχιερωσύνης τὴν χάριν ὑπεδέξω, καὶ Θεσσαλονίκης τὸ ποίμνιον ἐποίμανας, ὡς γνήσιος ποιμήν, καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μιμητής, Θεωνᾶ θαυματουργέ, Ἱεραρχῶν ἐγκαλλώπισμα· διὸ τὸ μνημόσυνόν σου, εἰς αἰῶνας μένει ὡς γέγραπται, εἰς δόξαν τοῦ ἐν Τριάδι Θεοῦ, Ἐκκλησίας εὐπρέπειαν, καὶ εὐσεβῶν περιποίησιν, τῶν τελούντων τὴν μνήμην σου, οὓς ταῖς πρεσβείας σου, ἀπό παντοίων διάσωσον πειρασμῶν, καὶ τῆς μανίας τοῦ ἀλάστορος.

Ἦχος πλ. α'.

Ὅσιε Πάτερ, τῆς φωνῆς ἀκούσας τοῦ Δεσπότου σου, τὴν κοσμικὴν ἀπάτην κατέλιπες, καὶ τὸν Σταυρόν ἐπ᾽ ὤμων ἀράμενος, ἀσκητικῶς αὐτῷ ἠκολούθησας· ἔξω δὲ κόσμου καὶ σαρκός, ταῖς μυστικαῖς ἀναβάσεσι γενόμενος, ταῖς ἀρεταῖς ὑπὲρ λόγον διέλαμψας, καὶ Ἀρχιερέων ἐπὶ θρόνου διέπρεψας, ὡς λύχνος φαίνων ἐν τῇ λυχνίᾳ, καὶ φωτίζων Ἐκκλησίας τὸ πλήρωμα. Ὅθεν σήμερον οἱ πιστοί, τῇ δόξῃ σου ἀγαλλόμενοι, τὴν μνήμην σου ἑορτάζομεν, καὶ πρέσβυν σε τῷ Θεῷ προσάγομεν, τῷ σῴζοντι ὡς φιλάνθρωπος, τὰς ψυχὰς τῶν τιμώντων σε.

Ἦχος πλ. β'.

Τίς μὴ μακαρίσει σε, Πάτερ Θεωνᾶ παμμακάριστε· ἐν σοὶ γὰρ ὡς καθαρῷ γενομένῳ, δι᾽ ἀσκητικῆς ἀρετῆς καὶ τελειότητος, μονὴν ὁ ἐν Τριάδι Θεός, ἡγιασμένην ἐποιήσατο· ἔνθεν Ἀναστασίας τῆς Μάρτυρας, τὴν περίκλυτον Μονὴν ἀνῳκοδόμησας, καὶ ψυχῶν φροντιστήριον κατέστησας, ἐν ᾗ καὶ τὸ

www.tezaurliturgic.ro

τίμιόν σου λείψανον, ὡς θησαυρὸν ἁγιάσματος κατέλιπες, ἰαμάτων παρέχον τὰ χαρίσματα, τοῖς προστρέχουσιν ἐκ πίστεως, καὶ ὡς δεδοξασμένον Ἱεράρχην, κατ᾽ ἀξίαν εὐφημοῦσί σε.

Δόξα. Ἦχος πλ. δ΄.

Τὸν ἐν Ἱεράρχαις ὅσιον, καὶ θαυματουργὸν ὑπερθαύμαστον, Θεωνᾶν τὸν παναοίδιμον, τῆς Θεσσαλονίκης τὸν πρόεδρον, καὶ διδάσκαλον τῆς εὐσεβείας, φιλεόρτων οἱ δῆμοι, τοῖς ᾄσμασι μακαρίσωμεν, καὶ πρὸς αὐτὸν οὕτως εἴπωμεν· Ἀρχιερεῦ θεόσοφε, ἄνερ ἐπιθυμιῶν, καὶ θεράπον Χριστοῦ πιστότατε, ὁ ἀξίως πολιτευθεὶς τοῦ χαρίσματος, καὶ τὸ δοθέν σοι πλεονάσας τάλαντον, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ τάφου σε.

Ο῞τε τὸν οὐράνιον Χριστοῦ, πόθον ἐν καρδίᾳ ἐδέξω, Πάτερ σοφὲ Θεωνᾶ, τότε κατεφρόνησας, τῆς ματαιότητας, τῶν προσκαίρων ὡς πάνσοφος, καὶ ἐν μοναζόντων, τοῖς ἀγῶσιν ἔλαμψας, ὡς λύχνος πάμφωτος, φαίνων φωτισμῷ εὐσεβείας, καὶ τοὺς φοιτητάς σου φωτίζων, τοὺς Θεοῦ ὡς ἄνθρωπον τιμῶντάς σε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ο῞τε καθαρώτατον ναόν, Πνεύματος Ἁγίου εἰργάσω, τὴν σὴν ψυχὴν Θεωνᾶ, τότε θείας χάριτος, τῇ ψήφῳ γέγονας, Ἱεράρχης καὶ πρόεδρος, τῆς Θεσσαλονίκης, καὶ ποιμὴν χρηστότατος, Χριστοῦ τὸ ποίμνιον, ῥάβδῳ θεϊκῆς σου σοφίας, πρὸς τῆς εὐσεβείας ποιμαίνων, τὴν νομὴν τὴν κρείττονα μακάριε.

Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Ο῞τε πρὸς τὴν ἄφθαρτον ζωήν, ἐκ τῆς ἐπικήρου μετέστης, Πάτερ σοφὲ Θεωνᾶ, τότε σοῦ τὸ τίμιον, παμμάκαρ λείψανον, τοῖς ἐν κόσμῳ κατέλιπες, πηγὴν ζωηφόρον, ἀναβλῦζον θαύματα, καθάπερ νάματα· ὅπερ

ἀσπαζόμενοι πόθῳ, δόξαν ἀναπέμπομεν πάντες , τῷ σὲ κατ᾽ ἀξίαν θαυμαστώσαντι.

Δόξα. Ἦχος πλ. β΄.

Τῶν Μοναστῶν τὸ κλέος, καὶ Ἀρχιερέων τὸ καύχημα, Θεωνᾶ τὸν μακάριον τιμήσωμεν· ἀσκητικῶς γὰρ διαπρέψας, καὶ ποιμαντικῶς εὐδοκιμήσας, τῶν ἀθεάτων ἐγένετο θεατής, ἐν παραδείσου ταῖς σκηναῖς, τὴν κατάπαυσιν ἀξίαν εὑράμενος. Διὸ καὶ πρὸς αὐτόν, ἐν κατανύξει ἐκβοήσωμεν· Ἁγιώτατε Πάτερ, ὁ ποιμὴν ὁ καλός, τὴν ἐκλογάδα σου φύλαττε ἀεί, ἐκ λύκων τῶν νοητῶν ἀνεπηρέαστον.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἱεράρχου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Πλωμαρίου τὸν γόνον, καὶ τῆς Λέσβου ἀγλάϊσμα, τὸν Θεσσαλονίκης ποιμένα, καὶ πιστῶν τὸν διδάσκαλον, τιμήσωμεν συμφώνως ἐν ᾠδαῖς, τὸν θεῖον Ἱεράρχην Θεωνᾶν, ὡς παρέχοντα τῆς χάριτος δωρεάς, τοῖς πόθῳ ἀναβοῶσι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Θείας γνώσεως , τὰς ἐπιλάμψεις , δι᾽ ἀσκήσεως εἰσδεδεγμένος , Θεωνᾶ Ἱεράρχα μακάριε, τῆς εὐσεβείας τὸ φῶς ἐξανέτειλας, καὶ τὸν λαὸν τοῦ Θεοῦ κατεφώτισας. Ὅθεν πρέσβευε, αὐτῷ ἐκτενῶς δεόμεθα, φωτῖσαι καὶ ἡμᾶς τοὺς εὐφημοῦντάς σε.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Συνδράμωμεν πιστοί, εὐσεβῶς ἐκτελοῦντες, τὴν μνήμην Θεωνᾶ, τοῦ σοφοῦ Ἱεράρχου, καὶ πάντες ἐκβοήσωμεν, πρὸς αὐτὸν μετὰ πίστεως·

www.tezaurliturgic.ro

Πάτερ Ὅσιε, ὁ θεῖος γόνος τῆς Λέσβου, καθικέτευε, ὑπὲρ ἡμῶν ἵνα χάριν, καὶ ἔλεος εὕρωμεν.

Δόξα. Ὅμοιον.

Χριστὸν τὸν δι᾽ ἡμᾶς, σαρκωθέντα ἀφράστως, ἐκ βρέφους Θεωνᾶ, μανικῶς ἀγαπήσας, αὐτῷ κατηκολούθησας, καὶ ὡς Ἄγγελος ἔζησας. Ὅθεν χαίρων νῦν, ἐν οὐρανοῖς μετ᾽ Ἀγγέλων , τῶν τιμώντων σε, ὡς συμπαθὴς ὑπερεύχου, ἀπαύστως μακάριε.

Καὶ νῦν. Θεοτοκίον.

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεόν, ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε, σὺν ταῖς ἄνω Δυνάμεσι, δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίστει καὶ πόθῳ, ἀεί σε δοξάζουσι.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ′. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ Ἱεράρχου Θεωνᾶ δεῦτε πάντες, τὴν ἀξιέπαινον πιστοὶ θείαν μνήμην, πνευματικῶς τελέσωμεν, βοῶντες πρὸς αὐτόν· Πρόφθασον μακάριε, τῇ θερμῇ σου πρεσβείᾳ, θλίψεων λυτρούμενος, πειρασμῶν καὶ κινδύνων, τοὺς πεποιθότας Πάτερ ἐπὶ σοί, ὡς κεκτημένῳ θαυμάτων τὴν δύναμιν.

Δόξα. Ὅμοιον.

Ἀσκητικῶς προκαθαρθεὶς τὴν καρδίαν, Ἀρχιερέων θεϊκῇ ἐπινεύσει, τοῦ χρίσματος ἠξίωσαι, παμμάκαρ Θεωνᾶ, καὶ ποιμὴν χρηστότατος, λογικῆς ἐκλογάδος, πλούτῳ τῆς ἐνθέου σου, ἀνεδείχθης σοφίας· διὸ πιστοὶ τιμῶμεν εὐλαβῶς, ἐν ἐγκωμίοις τὴν πάντιμον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας, τὰ σὰ ἐλέη Δέσποινα οἱ δοῦλοί σου, κράζοντες καὶ λέγοντες· Παναγία Παρθένε, πρόφθασον καὶ λύτρωσαι, ἐξ ἐχθρῶν ἀοράτων, καὶ ἀναγκῶν καὶ πάσης ἀπειλῆς· σὺ γὰρ ὑπάρχεις, ἡμῶν ἡ ἀντίληψις.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ′. Τὸ προσταχθέν.

Α᾽σκητικῶς τῷ Χριστῷ ἀκολουθήσας, τῶν ἀρετῶν τὸν μυστικὸν ἐν τῇ ψυχῇ σου, ἐθησαύρισας πλοῦτον Πάτερ θεοφόρε, καὶ ὤφθης Θεσσαλονίκης καλὸς ποιμήν, καὶ μύστης τῆς εὐσεβείας θεοειδής, μοναστῶν ὑποτύπωσις, καὶ τῶν πιστῶν προασπιστής· διό σε μακαρίζομεν, Θεωνᾶ ἐν τῇ μνήμῃ σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θεοχαρίτωτε Ἁγνὴ Εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι, καὶ σὺν τοῖς Προφήταις, καὶ ἅπασι τοῖς Ἁγίοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α′ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ′ ἤχου καὶ τὸ Προκείμενον.

Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ζήτει τῇ ε′ Δεκεμβρίου.

Ὁ Ν′. Δόξα. Ταῖς τοῦ Ἱεράρχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β′.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ο῞σιε Πάτερ, μοναζόντων τὸ καύχημα, καὶ Ἀρχιερέων ἐγκαλλώπισμα, Θεωνᾶ παμμακάριστε, τῆς Λέσβου τὸ βλάστημα, καὶ Ἐκκλησίας τὸ ἀγλάϊσμα, ὁ τὸ τάλαντον αὐξήσας ὡς γέγραπται, καὶ τῶν κατορθωμάτων σου τὸν μισθόν, ἐν οὐρανοῖς εἰς ἁγιασμὸν κτησάμενος, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ′ καὶ τοῦ Ἱεράρχου οἱ δύο εἰς η′. Κανὼν τῆς Θεοτόκου φέρων Ἀκροστιχίδα τήνδε· «Χαῖρε Παρθένε Θεοτόκε Μαρία. Κυρίλλου».

Ὠιδὴ α′. Ἦχος β′. Ὁ Εἱρμός.

Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

Τροπάρια.

Χαῖρε Ἁγνή, Μῆτερ Παρθένε Χριστοῦ τοῦ Θεοῦ, ἡ τῆς ἀρχαίας πρόξενος, μακαριότητος, τῇ βροτείᾳ οὐσίᾳ· δυσώπει τοῦ σωθῆναι, τοὺς ἀνυμνοῦντάς σε.

Ἄνθος τερπνόν, ἀγεωργήτως Χριστὸν τὸν Θεόν, τὸν Λυτρωτὴν ἐξήνθησας, καὶ εὐωδίασας, τῶν ἀνθρώπων τὸ γένος· διό σε κατὰ χρέος, Μῆτερ δοξάζομεν.

Ἵνα τρυφῆς, καὶ ἀθανάτου Παρθένε ζωῆς, οἱ ἐξ Ἀδὰμ κατάκριτοι, ἐπαπολαύσωμεν, τοῦ Πατρὸς ἐσαρκώθη, ὁ Λόγος ἐκ γαστρός σου, ὃν μεγαλύνομεν.

Ῥῦσαι ἡμᾶς, Θεοκυῆτορ Παρθένε Ἁγνή, τοὺς εὐλαβῶς προστρέχοντας, τῇ ἀντιλήψει σου, ἐκ κινδύνων παντοίων, καὶ πάσης ἐπηρείας, τοῦ πολεμήτορος.

Κανὼν πρῶτος τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις «Κυρίλλου».

Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἡμέρα ἑόρτιος, ἡμῖν ἀνέτειλε σήμερον, ἡ μνήμη ἡ ἔνδοξος, τοῦ θαυμαστοῦ Θεωνᾶ· δεῦτε ἅπαντες, πιστοὶ εὐωχηθῶμεν, αὐτοῦ μακαρίζοντες, τὰ προτερήματα.

Ἐκ βρέφους τὸν Κύριον, ἐπιποθήσας κατέλιπες, ἀπάτην τὴν πρόσκαιρον, Πάτερ σοφὲ Θεωνᾶ, καὶ ἐβίωσας, ὡς Ἄγγελος ἐν κόσμῳ· διὸ μετ' Ἀγγέλων νῦν, ἔχεις τὸν κλῆρόν σου.

Ἰδού σοι ἑόρτιον, μέλος κροτοῦμεν γηθόμενοι, τελοῦντες τὴν μνήμην σου, ἄνερ Θεοῦ Θεωνᾶ· σὺ γὰρ πρότερον, ἀσκήσας ὑπὲρ φύσιν, Χριστοῦ ποίμνης γέγονας, ποιμὴν χρηστότατος.

Θεοτοκίον.

Κυρία Πανάχραντε, Εὐλογημένη Θεόνυμφε, Χριστὸν ἡ κυήσασα, τὸν Λυτρωτὴν καὶ Θεόν, αἴτει πάντοτε, συγχώρησιν πταισμάτων, τοῖς πίστει προστρέχουσι, τῇ μεσιτείᾳ σου.

Κανὼν δεύτερος τοῦ Ἁγίου φέρων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις τήνδε· «Θεωνᾶν ὑμνῶ Χριστοῦ τὸν Ἀρχιθύτην». Ποίημα Ἀνωνύμου.

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Θεοῦ θεράπων Θεωνᾶ γενόμενος, ταῖς πρὸς αὐτόν σου λιταῖς, νῦν τῷ ὑμνητῇ σου, λόγον μοι πρυτάνευσον, τοῦ ᾆσαι ἐγχειρίσαντι, σοῦ τὸν ἔνθεον βίον, καὶ τὴν ἁγίαν σου σήμερον, μνήμην Ἱεράρχα καὶ εὔσημον.

Ἔχων ἐκ βρέφους πρὸς Θεὸν τὸ ὄμμα σου, καὶ τὰ θεάρεστα, πράττων θεοφόρε, πρὸς τὸ ὄρος ἔδραμες, τοῦ Ἄθω καὶ ἐβίωσας, ὡς οἱ πρόκριτοι πάλαι, ἐν τῇ Μονῇ Παντοκράτορος, μάκαρ Θεωνᾶ θεοδόξαστε.

Ὡς τοῦ Κυρίου ἐραστὴς καὶ γνήσιος, ὁ ἱερὸς Θεωνᾶς, ἐν τῷ Ἄθω σπεύδει, ὡς διψῶσα ἔλαφος, καὶ τὸν σταυρὸν ἀράμενος, καὶ τὰ πάθη νεκρώσας, τὰς ἀρετὰς ἐνεδύσατο, καὶ ἱερωσύνης ἱμάτιον.

Θεοτοκίον.

Νῦν σοι προσπίπτω καὶ βοῶ σοι Δέσποινα, τῇ Θεομήτορι, Χριστιανῶν σκέπῃ· Μὴ ἐγκαταλίπῃς με, ἀντιλαβοῦ καὶ σῶσόν με, καὶ τῆς αἰωνιζούσης, κολάσεως ἐλευθέρωσον, ἡ τῶν ἀνελπίστων ἀντίληψις.

Κανὼν τῆς Θεοτόκου. Ὠιδὴ γ΄. Ὁ Εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοί, Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Τροπάρια.

Ἐλέησον ἡμᾶς ταῖς πρεσβείαις σου, ἐλέους ἀπείρου ἡ τὸν δοτῆρα, ὑπὲρ λόγον τε καὶ ἔννοιαν, ἀπειρογάμως Ἁγνὴ σωματώσασα.

Πανάχραντε Θεοῦ νύμφη ἄφθορε, Ἀπείρανδρε Μῆτερ τοῦ Ζωοδότου, σῶσον, οἴκτειρον, βοήθησον, τοὺς πεποιθότως πρὸς σὲ καταφεύγοντας.

Ἀπείρανδρε οἰκτρῶς ἠνομήσαμεν, ἐτρώθημεν ἔργοις τῆς ἁμαρτίας· ἀλλὰ δὸς ἡμῖν μετάνοιαν, τῇ χάριτί σου καὶ βίου διόρθωσιν.

Ῥοαῖς τῆς μητρικῆς εὐσπλαγχνίας σου, κατάρδευσον Κόρη Εὐλογημένη, ξηρανθεῖσαν τὴν καρδίαν μου, καὶ καρποφόρον αὐτὴν πάλιν ποίησον.

Κανὼν πρῶτος. Τόξον δυνατῶν.

Θεῖον Θεωνᾶ κτησάμενος, ζῆλον ἐν καρδίᾳ, τῷ Λυτρωτῇ ἠκολούθησας, καὶ ἐδείχθης ταῖς ἀρεταῖς σου, τοῖς Ἀγγέλοις ἰσοστάσιος.

Πάτερ Θεωνᾶ τὴν μέριμναν, πᾶσαν τῷ Κυρίῳ, ἀπὸ παιδὸς ἀναθέμενος, τῇ ἀσκήσει ὤφθης γενναῖος, καὶ σαρκὸς τὰ πάθη ἔκτεινας.

Λέσβος εὐσεβῶς ἀγάλλεται, τίμιον βλαστόν σε, ἐνεγκαμένη μακάριε, καὶ προσάγει θεῖόν σε πρέσβυν, τῷ Κυρίῳ τῶν δυνάμεων.

Θεοτοκίον.

Ὕμνοις οἱ πιστοὶ προσφέρομεν, σοὶ τῇ κυησάσῃ, τὸν τοῦ Πατρὸς Λόγον Ἄχραντε, καὶ γενάρχου τῆς ἁμαρτίας, ῥυσαμένῃ τὸ ἀνθρώπινον.

Κανὼν δεύτερος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἀνακαθάρας τοῦ νοός, καὶ τῆς ψυχῆς τὰς αἰσθήσεις, τὸν Θεὸν ὡς ἐφικτὸν ἐθεώρεις, καὶ Θεοῦ τῷ προσφιλεῖ, ἐγνώσθης Ἰακώβῳ τε, καὶ σὺν αὐτῷ οἰκήσας, τούτου συνέστιος γέγονας.

Νέος ὁ Ὅσιος φανείς, ἐν τοῖς καιροῖς καὶ ἀρχαῖος, ἐν ἀσκήσεως ἐδείχθη τοῖς τρόποις, ὁ θεόφρων Θεωνᾶς, ἐν τοῖς Ἰβήρων ὄρεσιν, ὑπὸ τὴν προστασίαν, τοῦ εἰρημένου τε κήρυκος.

Ὑπὸ Θεοῦ ὁδηγηθείς, εἰς τὰ ἐκτός τε τοῦ Ὄρους, ὁ σοφὸς καὶ ἰσαπόστολος τούτου, ὁ Ἰάκωβος φημί, σὺν τῷ αὐτῷ προσέδραμες, ὡς συνεργάτης μάκαρ, λαὸν τοῦ σῶσαι τὸν ἔμφρονα.

Θεοτοκίον.

Μαρία Μῆτερ τοῦ Θεοῦ, μετὰ τῶν ἄνω Ταγμάτων, μετὰ πάντων τῶν σοφῶν Ἀποστόλων, καὶ Μαρτύρων ἱερῶν, καὶ τῶν Ὁσίων πρέσβευε, ὅπως τελείαν λύσιν, ἁμαρτημάτων ληψώμεθα.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἰακώβῳ τῷ θείῳ μαθητευθείς, ἐκοινώνησας τούτου τῶν ἀρετῶν, καὶ ψήφῳ τῆς χάριτος, Ἱεράρχης καὶ πρόεδρος, Θεσσαλονίκης ὤφθης, ἐν χρόνοις κακώσεως, καὶ λογικῶν προβάτων, ποιμὴν χριστομίμητος· ὅθεν ὁ Δεσπότης, καὶ Θεός σε βραβεύσας, θαυμάτων ἐκόσμησε, τοῖς πλουσίοις χαρίσμασι, Θεωνᾶ θεοδόξαστε· ὃν πάντοτε δυσώπει θερμῶς, τῶν

πτιασμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ κόσμῳ ἐκύησας, τὸν τὸν κόσμον συνέχοντα, καὶ ἐκ μαζῶν ἐθήλασας, τὸν πάντας ἐκτρέφοντα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα βαστάζοντα· ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, Δέσποινα Παρθένε Ἁγνή, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἄθλιος δοῦλός σου.

Κανὼν τῆς Θεοτόκου. Ὠιδὴ δ΄. Ὁ Εἱρμός.

Τὴν ἐκ Παρθένου σου γέννησιν, ὁ Προφήτης προβλέπων, ἀνεκήρυττε βοῶν· Τὴν ἀκοήν σου ἀκήκοα, καὶ ἐφοβήθην· ὅτι ἀπὸ Θαιμάν, καὶ ἐξ ὄρους ἁγίου κατασκίου, ἐπεδήμησας Χριστέ.

Τροπάρια.

Θεὸν Πανάχραντε ἔτεκες, τὸν πρὸ πάντων αἰώνων, σὺ ἐν χρόνῳ δἰ ἡμᾶς, ὃν παῤῥησίᾳ ἱκέτευε, ἵνα ῥυσθῶμεν, νόσων παντοδαπῶν, πειρασμῶν τε παντοίων καὶ κινδύνων, τῶν ἐν βίῳ Ἀγαθή.

Εἰς σὲ ἀκλόνητον ἔχοντες, τῆς ψυχῆς ἡμῶν πᾶσαν, τὴν ἐλπίδα οἱ πιστοί, ἱκετηρίαν προσάγομεν, ἀναβοῶντες· Μῆτερ Θεοῦ Ἁγνή, μὴ ἐάσῃς ἡμᾶς ἀπολλυμένους, ἐν δουλείᾳ τῶν παθῶν.

Νοσοῦντα Ἄχραντε Δέσποινα, τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐκ πολλῶν ἁμαρτιῶν, ἐπισκοπῆς σου ἀξίωσον, τὸν σὸν ἱκέτην, ἵνα σοι ἐκβοῶ· χαῖρε Μῆτερ ἀσπόρως ἡ τεκοῦσα, τὸν Δεσπότην καὶ Θεόν.

Ε᾿λέους ἔχουσα Πάναγνε, θησαυροὺς ἀκενώτους, καὶ συμπάθειαν πολλήν, ἀντιλαβοῦ μου ὡς τάχιον, καὶ τὴν ἀθλίαν, λύτρωσαί μου ψυχήν, τῶν δολίων σκανδάλων καὶ παγίδων, τοῦ ἐχθροῦ τοῦ πονηροῦ.

Κανὼν πρῶτος. Ὁ καθήμενος ἐν δόξῃ.

Ι᾿ακώβῳ μαθητεύσας, τῷ Ὁσίῳ καὶ Μάρτυρι, τούτου ἐμιμήσω, σὺ τὰς ἀρετὰς ὡς θεόσοφος, ἃς Θεωνᾶ θησαυρίσας τοῖς ἀγῶσί σου, τύπος γέγονας, τῶν μοναστῶν ἀκριβέστατος.

Ε᾽ν τοῦ Ἄθωνος τῷ ὄρει, τῇ ἀσκήσει ἀνύψωσας, σεαυτὸν εἰς ὄρη, Πάτερ Θεωνᾶ τὰ αἰώνια, ἔνθα Θεὸς μυστικῶς σε ἐπεσκέψατο, καὶ ἐπλήρωσε, τοῦ μυστικοῦ ἀπαυγάσματος.

Τῇ ἀσκήσει τὴν καρδίαν, τῶν παθῶν καθηράμενος, μύρῳ ἔχρισέ σε, ἀρχιερωσύνης ὁ Κύριος, οὗ Θεωνᾶ διαπρέψας σὺ τῇ χάριτι, ἀναδέδειξαι, λαοῦ ποιμὴν καὶ διδάσκαλος.

Θεοτοκίον.

Ρ῾υπωθέντα ἀσυνέτως, ἁμαρτίας τῷ ῥύπῳ με, κάθαρον Παρθένε, ὕδατι τῆς σῆς ἀντιλήψεως, ἵνα βοῶ ἐκ ψυχῆς σοι· Χαῖρε ἄσπιλε, ἡ ἐκ σπλάγχνων σου, τὸν Λυτρωτὴν σωματώσασα.

Κανὼν δεύτερος. Σύ μου ἰσχύς.

Ναὸς Θεοῦ, δἰ ἀρετῆς ἐχρημάτισας , καὶ οἰκεῖος, τῶν προκρίτων Ὅσιε, καὶ ἱερός, θεῖός τε ποιμήν , ἐν τῷ τῆς Ἁγίας , Ἀναστασίας θεόσοφε , σεμνείῳ σὺν τοῖς μύσταις , τοῦ σοῦ προστάτου ὡς προέφη , ὁ αὐτὸς ἔτι ζῶν δἰ αἰνίγματος.

Ω῾ς τοῦ Θεοῦ , σὺ εὐωδία γενόμενος , διὰ βίου , μάκαρ τελειότητος , δἰ ἀγρυπνίας καὶ προσευχῆς, καὶ διὰ νηστείας, καὶ παρθενίας καὶ νήψεως, ποιμαίνειν ἠξιώθης, τοὺς τῆς Μονῆς λογικοὺς ἄρνας, Θεωνᾶ θεοφόρε ἐν χάριτι.

Χριστοῦ σεπτός, σὺ Ἀρχιθύτης γενόμενος, τὴν Μονήν σου, Πάτερ κατεκόσμησας, δοὺς ἐν αὐτῇ, τύπον γραφικόν, τάς τε παραδόσεις, ἃς δεῖ φυλάττειν οἱ παῖδές σου, καὶ ἔσπευσας ποιμαίνειν, τὸν Θετταλίας λαὸν πάντα, ὡς ἡ ἄνω βουλή σοι βεβούλευται.

Θεοτοκίον.

Ρ῾εῖθρον ζωῆς, πηγὴν ἀθάνατον βλύσασα, κενουμένην, κένωσιν ἀκένωτον, ἐκκενουμένην τε μηδαμῶς , ἀλλ᾽ ἐν τῷ κενοῦσθαι , ὑπερχειλῆ καὶ ἀκένωτον, καὶ πλήρη δεδειγμένην, ὦ Ἀπειρόγαμε Παρθένε, ἀθανάτου ζωῆς με ἀξίωσον.

Κανὼν τῆς Θεοτόκου. ᾿Ωιδὴ ε′. Ὁ Εἱρμός.

Ο῾ τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων ποιητὴς Κύριος, ἐν τῷ φωτὶ τῶν σῶν προσταγμάτων, ὁδήγησον ἡμᾶς· ἐκτός σου γὰρ ἄλλον, Θεὸν οὐ γινώσκομεν.

Τροπάρια.

Θεοκυῆτορ Ἁγνή, τὸ τοῦ Ἡλίου νοητὸν ὄχημα, ταῖς ἀστραπαῖς τῶν σῶν χαρισμάτων, καταύγασον ἡμᾶς· καὶ γὰρ προσκυνοῦμεν, Παρθένε τὸν τόκον σου.

Ε᾿λπὶς τοῦ κόσμου Σεμνή, μὴ καταισχύνῃς τοὺς πιστοὺς δούλους σου, τοὺς ἐκ ψυχῆς ἐπικαλουμένους, βοήθειαν τὴν σήν, καὶ ὁμολογοῦντας, Θεοῦ σε λοχεύτριαν.

Οἱ ἁμαρτάνοντες αἰσχρῶς, προστρέχομέν σοι Ἀγαθὴ κράζοντες· Ἐν τῷ φωτὶ τῷ τῆς μετανοίας, ὁδήγησον ἡμᾶς, τῇ χειραγωγίᾳ, Ἁγνὴ τῆς πρεσβείας σου.

Τραυματισθεὶς ἡδονῶν, τῇ αἰσχρουργίᾳ ὁ οἰκτρὸς ἄνθρωπος, ἱκετικῶς Παρθένε βοῶ σοι· Ἐλθέ μοι ἰατρός, πληγῶν μου τὰ ἄλγη, Ἁγνὴ θεραπεύουσα.

Κανὼν πρῶτος. Ἐξέστη τὰ σύμπαντα.

Ποθήσας σκηνώματος, τόπον τῆς δόξης ἅγιον, Χριστοῦ Θεωνᾶ ἡγιασμένε, τῇ ἐγκρατείᾳ, ἐπηγωνίσθης στεῤῥῶς, καὶ ἔμψυχον ἔδειξας ναόν, σεαυτὸν πανόλβιε, χαρισμάτων τοῦ Πνεύματος.

Χρησάμενος σώφρονι, γνώμῃ τοῦ κόσμου ἔλιπες, Πάτερ Θεωνᾶ τὰς ἀπολαύσεις, καὶ ἐκολλήθης, τῷ ἐπὶ πάντων Θεῷ· ὃν καὶ μιμησάμενος ποιμήν, ἄκακος καὶ ὅσιος, Ἐκκλησίας γεγένησαι.

Πετάσας τὰ χείλη σου, τῇ ἐγκρατείᾳ Ὅσιε, Πνεύματος Θεοῦ κατεπληρώθης, καὶ τοῦτο ἔχων, ἐν σοὶ παμμάκαρ λαλοῦν, ἐλάλησας χείλεσιν ἁγνοῖς, σωτηρίας ῥήματα, εἰς λαοῦ περιποίησιν.

Θεοτοκίον.

Ι῾λέῳ ἐν ὄμματι, Θεοκυῆτορ ἔπιδε, ἐπὶ τὸν λαὸν τὸν προσκυνοῦντα, τὸν γεννηθέντα, ἀδιαφθόρως ἐκ σοῦ, καὶ δίδου ὡς εὔσπλαγχνος αὐτῷ, μητρικῆς σου χάριτος, δαψιλῶς τὰ δωρήματα.

Κανὼν δεύτερος. Ἵνα τί με ἀπώσω.

Ι῾εράρχης ἐχρίσθης, Θεσσαλονικέων ὡς ἄλλος Ἀπόστολος, θείᾳ ψήφῳ Πάτερ, Θεωνᾶ καὶ τοῦ κλήρου ὡς πρέπει σοι, καὶ ποιμὴν ἐδείχθης, πάσης χθονὸς τῆς Θετταλίας, καὶ μεσίτης τῆς ποίμνης σου ἄμεσος.

www.tezaurliturgic.ro

Σὲ φρουρὸν κεκτημένος, σὲ καὶ ἀντιλήπτορα, σὲ καὶ προστάτην μου, καὶ παρακαλῶ σε, ἐν νυκτὶ καὶ ἡμέρᾳ ῥυσθῆναί με, ἐκ παντὸς κινδύνου, τὸν προσφυγόντα τῇ σῇ σκέπῃ, Θεωνᾶ Ἱεράρχα μακάριε.

Τῇ ἀσκήσει σου Πάτερ, λίαν ἐδοξάσθη Μονὴ ἡ τῆς Μάρτυρος, ὡς ἡ ἐν τῷ Ἄθῳ, ὀρεινὴ τῇ σεπτῇ παροικίᾳ σου, ἐν δὲ τῇ αὐτῇ σου, πανευκλεεῖ ποιμαντορίᾳ, πᾶσα γῆ Θετταλῶν συνδεδόξασται.

Θεοτοκίον

Οἱ πιστοὶ Θεοτόκον, πάντες σε κηρύττομεν Θεοχαρίτωτε, οἱ τῇ σῇ γεννήσει, τῆς φθαρτῆς λυτρωθέντες γεννήσεως, καὶ πρὸς τὴν ἀμείνω, πάλιν ζωὴν ἀνακληθέντες, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

Κανὼν τῆς Θεοτόκου. Ὠιδὴ στ'. Ὁ Εἱρμός.

Ε᾿ν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Τροπάρια.

Οὐρανός σε καὶ γῆ μακαρίζουσι , μεθ᾿ ὧν κἀγὼ Ἄχραντε πόθῳ φλεγόμενος· μητροπρεπῶς θαυμάστωσον , ἐπ᾿ ἐμὲ τὴν στοργήν σου καὶ σῶσόν με.

Καταιγίδες πνευμάτων βυθίζουσι, τῶν τῆς πονηρίας με, εἰς χάους ἄβυσσον· σὺ δὲ γαλήνη σῶσόν με, τῆς σεπτῆς χάριτός σου Πανάχραντε.

Ε᾿πελθόντα τὰ πάθη ταράττουσιν, ὅλον με Θεόνυμφε· ἀλλ᾿ ὡς φιλάγαθος, σὺ στηριγμός μου πάρεσο, καὶ καλὴ ἐν τῷ βίῳ βοήθεια.

Μετανοίᾳ Χριστῷ με οἰκείωσον, τῷ ἐνανθρωπήσαντι ἐκ σοῦ Πανύμνητε· τοῖς μιαροῖς γὰρ ἔργοις μου, ἐξ αὐτοῦ ἐμακρύνθην ὁ ἄθλιος.

Κανὼν πρῶτος. Τὴν θείαν ταύτην.

Ι῎θύνας ῥάβδῳ τῶν λόγων σου, τὴν ποίμνην ἐπὶ χλόην τῆς πίστεως, Πάτερ μακάριε, παρὰ Χριστοῦ Ἀρχιποίμενος, στεφάνους ὑπεδέξω, δόξης τῆς ἄνωθεν.

Θεσσαλονίκης δεξάμενος, θεόθεν προεδρείαν ὡς ἄξιος, τῇ πολιτείᾳ σου, τῷ δεδωκότι ἐτήρησας, ὦ Θεωνᾶ τὴν πίστιν, ὥσπερ προείρηται.

Υ῾πὸ Κυρίου τῆς χάριτος, τὸν νοῦν σου Θεωνᾶ ποιμαινόμενος, ποίμνην ἐποίμανας, καὶ ἀνεπίβατον ταύτην δέ, ἀλλογενέσι λύκοις, Πάτερ ἐφύλαξας.

Θεοτοκίον.

Λαμπρὸν ἐδείχθης παλάτιον, καὶ θρόνος ὑψηλὸς τοῦ Παντάνακτος, Ἁγνὴ τῷ τόκῳ σου , δι᾽ οὗ κατάρας ἐῤῥύσθημεν , τῆς παλαιᾶς οἱ πόθῳ, σὲ μακαρίζοντες.

Κανὼν δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.

Υ῾ψώθης ὑπερφυῶς, δι᾽ ἀρε τῶν τελειότητα· ἀσκήσει γὰρ καθαρθείς, τὸν νοῦν ἀνεπτέρωσας, εἰς ὕψος οὐράνιον, Θεωνᾶ τρισμάκαρ, καὶ ποιμὴν ποιμένων γέγονας.

Τὸν Ὅσιον τοῦ Θεοῦ, ᾠδαῖς ᾀσμάτων ὑμνήσωμεν, ὡς Ἱεράρχην σοφόν, ὡς θεῖον ὑπέρμαχον, ἡμῶν καὶ ὡς μέγιστον, πρέσβυν πρὸς τὸν Κτίστην, Θεωνᾶ τὸν θεοδόξαστον.

Ο῾ ἐν Τριάδι Θεός, Πατὴρ Υἱὸς σὺν τῷ Πνεύματι, δοξάζει καὶ στεφανοῖ, τοὺς τούτου θεράποντας, ὃς πάνυ ἐδόξασε, μετὰ τῶν ποιμένων, Θεωνᾶν τὸν Ἀρχιποίμενα.

Θεοτοκίον.

Ναὸς ἐδείχθης Θεοῦ, τοῦ ἀχωρήτου Πανάμωμε, ναὸν κἀμὲ τῆς αὐτοῦ, δεῖξον θείας χάριτος, Παναγία Δέσποινα, ταῖς σαῖς ἱκεσίαις, καὶ συντήρησον ἀλώβητον.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ε᾿πεφάνη σήμερον, ὥσπερ οὐράνιον ἄστρον, Θεωνᾶ ἡ μνήμη σου, τῇ τῶν πιστῶν Ἐκκλησίᾳ, χάριτος τῆς δεδομένης σοὶ οὐρανόθεν, λάμψεσι ταῖς ἀνεσπέροις φωταγωγοῦσα, τὰς ψυχὰς τῶν ἐκβοώντων· Θεσσαλονίκης, χαίροις ὁ θεῖος ποιμήν.

Ὁ Οἶκος.

Οἱ πιστοὶ εὐφροσύνως συνέλθωμεν, καὶ κροτοῦντες τοῖς ᾄσμασιν μέλψωμεν, τὸν θεοφόρον Θεωνᾶν, τὸν Ἱεράρχην τὸν σοφόν, καὶ ποίμνης Χριστοῦ τῆς λογικῆς, ποιμένα τὸν χρηστότατον· τὸν ἀσκητικῶς πρότερον

διαπρέψαντα, καὶ ποιμαντικῶς ἐσύστερον κοπιάσαντα· τὸν στεῤῥόν τῇ ἀσκήσει, καὶ πάνσοφον ταῖς διδαχαῖς, τὸν ἐν δουλείας τοῖς χρόνοις, τῶν εὐσεβῶν τὸ φρόνημα στερεώσαντα, καὶ τὴν εὐσέβειαν κρατύναντα· ἐπέφανε γὰρ σήμερον φαιδρῶς, τῇ Ἐκκλησίᾳ αὐτοῦ ἡ μνήμη, ὡς ἑωσφόρος πρωϊνός, τῇ τῶν θαυμάτων φωτοχυσίᾳ, τὰς καρδίας τῶν εὐσεβῶν καταλαμπρύνουσα, τῶν ἐκ πόθου ἐπιτελούντων αὐτήν, καὶ ἀκορέστῳ πόθῳ ἀναβοώντων· Θεσσαλονίκης, χαίροις ὁ θεῖος ποιμήν.

Μηνολόγιον.

Τῇ Δ′ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Θεωνᾶ, Ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ θαυματουργοῦ.

Στίχοι.
Λιπὼν Θεωνᾶς τὴν κάτω προεδρίαν,
Παρίσταται νῦν τῷ Προέδρῳ τῶν ὅλων.
Τετάρτῃ Θεωνᾶς ἔνθεν ἀπέπτη πρὸς οὐρανόν.

Συναξάριον.

Ὁ Ὅσιος οὗτος καὶ θαυματουργὸς Ἱεράρχης Θεωνᾶς ἤκμασε κατὰ τὸν δέκατον καὶ ἕκτον αἰῶνα, γεννηθείς, κατὰ παράδοσιν, ἐν Πλωμαρίῳ τῆς νήσου Λέσβου ἢ ἔν τινι τῶν παρακειμένων χωρίων τῆς εἰρημένης ταύτης κωμοπόλεως. Παιδιόθεν τὴν πρὸς Θεὸν ἔφεσιν ἔχων, ἀναχωρήσας τοῦ κόσμου, ἐγένετο Μοναχὸς καὶ ἤσκησεν ἐν τῷ Ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος, καὶ δὴ ἐν τῇ Μονῇ τοῦ Παντοκράτορος καὶ ἐν τῇ Σκήτῃ τῶν Ἰβήρων, μαθητὴς γενόμενος τοῦ μεγίστου ἐπ᾽ ἀρετῇ καὶ πνευματικῇ ἐμπειρίᾳ Ἁγίου Ὁσιομάρτυρος Ἰακώβου τοῦ Νέου, ὃν καὶ ἠκολούθησεν ἐξελθόντα τοῦ Ὄρους καὶ ἐγκατασταθέντα ἐν τῇ Μονῇ τοῦ Τιμίου Προδρόμου παρὰ τὸ χωρίον Δερβέκιτσα τῆς Ναυπακτίας. Τοῦ Ἁγίου Ἰακώβου μαρτυρικῶς τελειωθέντος, παραλαβὼν ὁ μακάριος Θεωνᾶς τοὺς μαθητὰς αὐτοῦ ἐπέστρεψεν ἐν Ἁγίῳ Ὄρει , ἀσκήσας μικρὸν ἐν τῇ Μονῇ Σίμωνος Πέτρας, ἀφ᾽ ἧς ἀναχωρήσας ἦλθεν μετὰ τῆς συνοδ είας αὐτοῦ ἐν τῇ Μονῇ τῆς Ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας, ἣν εὑρὼν ἐν ἐρειπίοις ἐδομήσατο ἐκ νέου, συναθροίσας ἐν αὐτῇ πλῆθος Μοναχῶν. Γενόμενος Ἀρχιεπίσκοπος Θεσσαλονίκης καὶ ποιμάνας τὴν ἐμπιστευθεῖσαν αὐτῷ ἐκλογάδα ἐν σοφίᾳ καὶ συνέσει, πλήρης ἡμερῶν, ἐκοιμήθη ἐν Κυρίῳ ἐν ἔτει αφμα′ (1541). Τούτου τὸ τίμιον λείψανον χαριτωθὲν φυλάσσεται ἐν τῇ ῥηθείσῃ τῆς Μάρτυρος Ἀναστασίας Μονῇ, εὐωδίαν πνέον καὶ θαύματα ἐνεργοῦν τοῖς προσερχομένοις ἐν εὐλαβείᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γεωργίου τοῦ ἐν τῷ Μαλαιῷ.

Στίχοι.
Ψυχὴν ὁ Γεώργιος ἀσμένως δίδως,
Ψυχῶν γεωργῷ καὶ φυτουργῷ σαρκίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Θεοδούλου καὶ Ἀγαθόποδος.

Στίχοι.
Πρῶτος θάλασσαν εἰσιὼν Ἀγαθόπους,
Ἔργοις ὑπῆρχε Χριστόπους Θεοδούλῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Φερβούθας καὶ τῆς παιδίσκης αὐτῆς καὶ τῆς συνοδίας αὐτῆς.

Στίχοι.
Ἁπλῆν με πλάττεις, Χριστὲ διπλὲ τὴν φύσιν,
Ἔχεις δὲ πρισθεῖσάν με διπλῆν Φερβούθαν.

Δούλας ἀληθεῖς Δεσπότου Θεοῦ δύο,
Δούλην τε καὶ Δέσποιναν ἔπρισε πρίων.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ποπλίου.

Στίχοι.
Ἐν οὐρανοῖς, Πόπλιε, μισθός σοι μέγας,
Πρὸς οὓς ἀπαίρων χαῖρε καὶ κρότει μέγα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Πλάτωνος, Ἡγουμένου Μονῆς τοῦ Στουδίου.

Στίχοι.
Πλάτων ἀρίστην εὖ μετεπλάσθη πλάσιν,
Χριστῷ πλάσαντι συγκραθεὶς πλάσιν ξένην.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ τρεῖς Ὅσιοι, Θεωνᾶς, Συμεών, καὶ Φερβῖνος, ἐν εἰρήνῃ τελειοῦνται.

Στίχοι.
Ψυχὰς δέχου τρεῖς οὐ κεκηλιδωμένας,
Ψυχῶν ἀκηλίδωτε τῶν θείων τόπε.

www.tezaurliturgic.ro

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ζωσιμᾶ, τοῦ κηδεύσαντος τὴν Ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν.

Στίχοι.
Ζῶσαν προπέμψας Ζωσιμᾶς τὴν Μαρίαν,
Θανοῦσαν εὗρεν· ἀλλὰ νῦν ζῶσιν ἅμα.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν τῆς Θεοτόκου. ᾨδὴ ζ'. Ὁ Εἱρμός.

Εἰκόνος χρυσῆς, ἐν πεδίῳ Δεειρᾶ λατρευομένης, οἱ τρεῖς σου Παῖδες κατεφρόνησαν, ἀθεωτάτου προστάγματος· μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τροπάρια.

Ἀδίκων χειρῶν, λύτρωσαί με Μαριὰμ Θεοκυῆτορ, καὶ ἐκ δολίας γλώσσης ῥῦσαί με, τὸν ἀκορέστως βοῶντά σοι· Χαῖρε τὸν Θεὸν ἡ τεκοῦσα, καὶ Δεσπότην τῆς κτίσεως· χαῖρε προστασία ἀψευδής, καὶ σωτηρία ἡμῶν.

Ῥημάτων Ἁγνή, τῶν ψαλλόντων τοῦ Ἀγγέλου σοι τὸ Χαῖρε, ἐν εὐμενείᾳ ἐπακούουσα, νεῦσον αὐτῶν παρακλήσεσι, παύουσα δεινῶν τρικυμίαν, καὶ εἰρήνην βραβεύουσα, Εὐλογημένη αὐτοῖς, ταῖς δραστικαῖς σου εὐχαῖς.

Ἰδοὺ οἱ πιστοί, εὐσεβῶς σε Ἀγαθὴ ὑμνολογοῦμεν, καὶ προσκυνοῦντες τὸ μυστήριον, τῆς ὑπὲρ φύσιν λοχείας σου, ἐν ἀγαλλιάσει βοῶμεν· Χαῖρε Μῆτερ Ἀπείρανδρε, σκέπε καὶ φρούρει ἡμᾶς, ταῖς σαῖς πρεσβείαις ἀεί.

Ἁγία σκηνή, καὶ καθέδρα θαυμαστὴ τοῦ Βασιλέως, Θεοκυῆτορ Παντευλόγητε, ῥάβδῳ τῆς σῆς ἀντιλήψεως, πρὸς σωτηριώδη νομήν με, τῆς ἀγάπης ὁδήγησον, τοῦ σαρκωθέντος ἐκ σοῦ, εἰς σωτηρίαν ἡμῶν.

Κανὼν πρῶτος. Ἀβραμιαῖοι ποτέ.

Προσκολληθεὶς τῷ Θεῷ , δι' ἐγκρατείας Πάτερ , παθῶν ὑψώσεις ἐταπείνωσας, καὶ ψήφῳ τῆς χάριτος, Θεσσαλονίκης, τὸν θρόνον ἐκληρώσω.

Ναὸν τελέσας σαυτόν , τοῦ Παρακλήτου Πάτερ , Ναὸν καὶ Μάνδραν ἀνεδόμησας, τῇ Μεγαλομάρτυρι, Ἀναστασίᾳ μεθ' ἧς σὲ εὐφημοῦμεν.

Θαυμάτων χάριν λαβών, ὦ Θεωνᾶ πλουσίως, ὡς Ἱεράρχης ἐνθεώτατος, τοὺς πόθῳ ὑμνοῦντάς σε, ἐκ νοσημάτων διάσωσον παντοίων.

Θεοτοκίον.

Λαὸς πιστῶν σε ὑμνεῖ, τὴν τοῦ Θεοῦ Μητέρα, ἀκαταπαύστως Θεονύμφευτε, καὶ ἀνακραυγάζει σοι· Χαῖρε Παρθένε, τῶν πάντων σωτηρία.

Κανὼν δεύτερος. Θεοῦ συγκατάβασιν.

Α᾽παύστως ἱκέτευε, Πάτερ θεόφρον ὑπὲρ τῆς ποίμνης σου, καὶ Θεὸν ἐκδυσώπει, τοὺς σοὺς καμάτους διανίζειν ἡμῖν, καρποφοροῦσι καὶ πόθῳ κραυγάζουσιν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ρ῾υσθῆναι ἱκέτευε, παντὸς κινδύνου καὶ τῆς μερίδος τυχεῖν, τῶν ἐκεῖ σῳζομένων, οἱ τιμῶντές σε πόθῳ, ὅπως ἐν πίστει βοῶμεν πρὸς Κύριον· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Χριστοῦ ἱεράτευμα, ἔνθεον ὤφθης δικαιοσύνης κανών, γεγονὼς θεῖε Πάτερ· διὸ πρεσβεύειν ὑπὲρ ἡμῶν τῷ Θεῷ, ἀεὶ μὴ παύσῃ κραυγάζοντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Νενέκρωμαι Πάναγνε, τῆς ἁμαρτίας πιὼν τὸ φάρμακον, καὶ προστρέχω σοι πίστει, τῇ τετοκυῖα τὸν ἀρχηγὸν τῆς ζωῆς, ταῖς σαῖς πρεσβείαις τὸν δοῦλόν σου ζώωσον, καὶ πειρασμῶν καὶ παθῶν, λύτρωσαι μόνη Ἁγνή.

Κανὼν τῆς Θεοτόκου. ᾽Ωιδὴ η΄. Ὁ Εἰρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρός, τῶν Ἑβραίων τοῖς Παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον, μεταβαλόντα Θεόν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Καταφυγή μου κραταιά, καὶ ἀντίληψις θερμὴ καὶ προστασία, ὡς οἰκτίρμων γενοῦ μοι· καὶ γὰρ προστρέχω τῇ σῇ, πρεσβείᾳ καὶ σκέπῃ Πανάμωμε, ὑμνῶν, μεγαλύνων, τὸν ἄφθορόν σου τόκον.

Υ῾περυψοῦμεν οἱ πιστοί, καὶ δοξάζομεν ἀεὶ ἐν εὐφροσύνῃ, τὸν ἀφράστως τεχθέντα, ἐκ σοῦ τῆς μόνης Ἁγνῆς, ὃν Μῆτερ δυσώπει ὡς εὔσπλαγχνος, τοῦ ῥυσθῆναι πάντας, κακίας τοῦ βελίαρ.

Ρ῾ῶσιν χορήγει τῇ ψυχῇ, καὶ τῷ σώματι Σεμνὴ δύναμιν δίδου, τοῖς ἀχρείοις σου δούλοις, τοῖς πεποιθόσιν εἰς σέ, καὶ Χαῖρε βοῶσί σοι Ἄχραντε, πηγὴ εὐλογίας, καὶ λύσις ἁμαρτίας.

Ι᾿δού σε πᾶσα γηγενῶν, φύσις Πάναγνε ἀεὶ ἐγκωμιάζει, τὸ ἐν σοὶ μέγα θαῦμα, δοξολογοῦσα πιστῶς· Θεὸν γὰρ ἀῤῥήτως γεννήσασα, ἑτοίμη ὑπάρχεις, ἁπάντων σωτηρία.

Κανὼν πρῶτος. Λυτρωτὰ τοῦ παντός.

Τῶν Ἀγγέλων αἱ τάξεις ἐξέστησαν, τῇ ὁσίᾳ ζωῇ σου ἀοίδιμε· ὑπὲρ γὰρ φύσιν ἔζησας, ἐγκρατείας τοῖς πόνοις, καὶ τῶν δαιμόνων, τὴν κακίαν εἰς τέλος κατῄσχυνας.

Θεωνᾶ Ἱεράρχα μακάριε , ἐν δουλείας τοῖς χρόνοις γεγένησαι , ἀναψυχὴ καὶ ἴαμα , τῷ λαῷ τοῦ Κυρίου , αὐτῷ τὰ πάντα , δι᾽ ἀγάπης ὡς Παῦλος γενόμενος.

Οἱ πιστοὶ συνελθόντες τιμῶμέν σε, μελῳδίαις τὴν δόξαν κροτοῦντές σοι, ἣν εὗρες Πάτερ Ὅσιε, τῶν φθαρτῶν ἀναλύσας· ὅθεν μὴ παύσῃ, τοῦ αἰτεῖσθαι πιστοῖς τὰ σωτήρια.

Θεοτοκίον.

Ο῾ τεχθεὶς ἀπειράνδρως ἐκ μήτρας σου, προστασίαν βεβαίαν Θεόνυμφε, ὡς ἀγαθός σε ἔδωκε, τοῖς βοῶσί σοι πόθῳ· Χαῖρε Παρθένε, τῆς κατάρας τελεία κατάργησις.

Κανὼν δεύτερος. Ἑπταπλασίως κάμινον.

Ι῾ερατεύειν εἴληφας, ἐκ Θεοῦ θεῖον δώρημα, ἐπὶ γῆς τρισμάκαρ, ἐν τῇ παροικίᾳ σου, νῦν δὲ μεμακάρισαι, μεταναστεύσας πρὸς οὐρανόν, ἔνθα σὺν αὐτοῖς, ἱερατεύειν τοῖς θείοις, Ἀγγέλοις ἠξιώθης, βοῶν τῷ ἐν ὑψίστοις· Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεὸν τὸν σὲ δοξάσαντα, προεδόξασας Ὅσιε, πρῶτον τῇ ἀσκήσει, ἐπὶ τῇ τοῦ Ἄθωνος, σοφὲ παροικίᾳ σου, καὶ ἐν τῇ θείᾳ περιωπῇ, ὕστερον τρισμάκαρ, ἐπὶ πόλεως πάσης, τῆς προκαθεζομένης, τῶν Θετταλῶν· διό σε πᾶσα, ἡ Χριστοῦ Ἐκκλησία γεραίρει σε.

Υ῾πὲρ ἡμῶν ἱκέτευε, τῶν τελούντων τὴν μνήμην σου, Θεωνα τρισμάκαρ, καὶ παντοίων λύτρωσαι, κινδύνων καὶ θλίψεων, καὶ ἐπηρείας τῶν δυσμενῶν, καὶ τῆς βασιλείας, οὐρανῶν ἀξιῶσαι, τῶν πίστει μελῳδούντων· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ε᾿πὶ τῆς γῆς ἀνέτειλεν, ὁ ἀνέσπερος ἥλιος, διὰ τῆς ἐκ σοῦ, παρθενικῆς γεννήσεως, Πανάχραντε Δέσποινα, καὶ τοὺς βροτοὺς ἀπήλλαξε, τῆς εἰδωλικῆς, καὶ ζοφερᾶς σκοτομήνης· διὸ καὶ νῦν με μᾶλλον, τῆς αὐτοῦ θεαρχίας, καταύγασον ταῖς αἴγλαις, καὶ φρούρει τὸν σὸν δοῦλον.

Κανὼν τῆς Θεοτόκου. ᾿Ωιδὴ θ΄. Ὁ Εἰρμός.

Η῾ τὸν ἀχώρητον Θεόν, ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν τῷ κόσμῳ κυήσασα, σὲ ὑμνοῦμεν, Παναγία Παρθένε.

Τροπάρια.

Λόγος ἰσχύει σε οὐδείς, εὐφημῆσαι Δέσποινα, τὴν ἁγιωτέραν τῆς κτίσεως, ἣν ὑμνοῦσιν, οὐρανῶν αἱ δυνάμεις.

Λύτρωσις Δέσποινα Ἁγνή, διὰ σοῦ ἐπέφανε, καὶ χαρᾶς τὴν κτίσιν ἐπλήρωσεν· ὅθεν πάντες, γηγενεῖς σε τιμῶμεν.

Ο῞λον τὸν βίον μου Ἁγνή, ἀχρειώσας πάθεσι, πρὸς σὲ καταφεύγω δεόμενος· μὴ οὖν Μῆτερ, τὴν κραυγήν μου παρώσῃ.

Υ῞μνους προσφέρω σοι Ἁγνή, ὁ ἀχρεῖος ἄνθρωπος, κἂν ρερυπωμένος τοῖς χείλεσι· σὺ δὲ δός μοι, τὴν ἁγίαν σου χάριν.

Κανὼν πρῶτος. Ἅπας γηγενής.

Δεῦτε οἱ πιστοί, ἀγαλλιασώμεθα, μνήμην τὴν ἔνδοξον, Θεωνᾶ τοῦ μάκαρος, ἐπιτελοῦντες καὶ ἀνακράξωμεν· Θεσσαλονίκης καύχημα, Λέσβου τὸ βλάστημα, Πάτερ σῷζε, τοὺς ἀνακειμένους σοι, ἐκ παντοίων δεινῶν ταῖς πρεσβείαις σου.

Δῶρον Θεωνᾶ, Θεῷ ἀξιόθεον, τῆς πολιτείας σου, δοὺς τὰ προτερήματα, τῶν ἰαμάτων παρ᾽ αὐτοῦ ἔ λαβες, τὰ κρείττονα χαρίσματα, δι᾽ ὧν τὰ ἀλγήματα, τῶν νοσούντων, ἰατρεύεις τάχιστα, καὶ ἰᾶσαι παθῶν ἀμπλακήματα.

Λάμπεις ὡς φωστήρ, ἐν τῷ στερεώματι, Πάτερ τῆς πίστεως, καὶ φωτίζεις ἅπαντας, τῇ φωταυγείᾳ τῶν χαρισμάτων σου, καὶ λύεις πᾶσαν ζόφωσιν, παθῶν καὶ θλίψεων· διὰ τοῦτο, Θεωνᾶ τὴν μνήμην σου, συνελθόντες τανῦν ἑορτάζομεν.

Θεοτοκίον.

Ὕμνοις καὶ ᾠδαῖς, ἀεὶ μακαρίζομεν, Μῆτερ τὸν τόκον σου, καὶ ἀναβοῶμέν σοι· Θεοκυῆτορ τοὺς καταφεύγοντας, σῇ μητρικῇ χρηστότητι, ὡς πολυεύσπλαγχνος, ἐκ κινδύνων, λύτρωσαι καὶ θλίψεων, νοσημάτων πικρῶν καὶ κακώσεων.

Κανὼν δεύτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Τὸ σκῆνός σου τρισμάκαρ τὸ ἱερόν, ἀδιάφθορον μένει ἐν χάριτι, βλύζον πηγάς, πάσης ἁγιότητος ὡς εἰκός, σὺν τῷ τοῦ διδασκάλου σου, θείου Ἰακώβου καὶ τῶν αὐτοῦ, συμμαθητῶν τε δύο, ἐν τῇ Μονῇ τῇ θείᾳ, Ἀναστασίας ὡς προείρηται.

Ἡμεῖς μὲν ἐκ τῶν ἄνωθεν καὶ ὑμεῖς, ἐκ τῶν κάτω ἐλθόντες ἐσόμεθα, διὰ παντός, ἄτρωτοι ἀχώριστοι ἐν Χριστῷ, ἔνθα πλησίον πόλεως, τῆς Θεσσαλονίκης ἐστὶ Μονή, προέφησεν ὁ θεῖος, Ἰάκωβος ὁπόταν, δέσμιος εἵλκετο πρὸς ἄθλησιν.

Ναὸς ἡγιασμένος ὢν τοῦ Θεοῦ, Θεωνᾶ Ἱεράρχα μακάριε, μετὰ πασῶν, τῶν ἐπουρανίων Ταξιαρχῶν, παρίστασαι τῷ Κτίστῃ σου, καὶ ὑπὲρ ἡμῶν τῶν εἰλικρινῶς, πρεσβεύεις τῶν τελούντων, τὴν πάνσεπτόν σου μνήμην, καὶ τούτοις δίδως χάριν ἄνωθεν.

Θεοτοκίον.

Νηδὺν Χριστὲ Σωτήρ μου παρθενικήν, ἐνοικήσας ἐφάνης τῷ κόσμῳ σου, θεανδρικῶς, ἄτρεπτος ἀσύγχυτος ἀληθῶς, καὶ καθυπέσχου πάντοτε, μετὰ τῶν σῶν δούλων εἶναι σαφῶς· διὸ τῆς σὲ τεκούσης, πρεσβείαις τὴν εἰρήνην, πάσῃ τῇ ποίμνῃ σου πρυτάνευσον.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τῆς Λέσβου ἐξορμώμενος, ἐν τῷ ὄρει τοῦ Ἄθω, ἀσκητικῶς διέπρεψας, ἀρετῶν ἐν τῷ ὕψει, καὶ Παρακλήτου τῇ ψήφῳ, Θεωνᾶ θεοφόρε, Θεσσαλονίκης πρόεδρος, καὶ ποιμὴν κατεστάθης, λάμπων φωτί, τῆς χρισομιμήτου σου ποιμασίας, καὶ τῶν πιστῶν τὸ πλήρωμα, ὡς φωστὴρ καταυγάζων.

www.tezaurliturgic.ro

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε

Βιώσας ὥσπερ Ἄγγελος, ἀσκητικοῖς ἀγῶσί σου, Ἀρχιερέων ἐν θρόνῳ, ἀνῆλθες νεύσει Κυρίου, καὶ ὡς ποιμὴν διέπρεψας, ἀξίως τοῦ χαρίσματος· διὸ Χριστὸς τοῖς θαύμασι, δοξάζει σε ὑπὲρ λόγον, ὦ Θεωνᾶ θεοφόρε.

Θεοτοκίον.

Μαρία καταφύγιον, Χριστιανῶν τὸ καύχημα, φύλαττε σκέπε σοὺς δούλους, ἐκ πάσης βλάβης ἀτρώτους· κινδύνων ἐξελοῦ ἡμᾶς, τοὺς πόθῳ εὐφημοῦντάς σε, καὶ πάσης περιστάσεως, ταῖς σαῖς πρεσβείαις χρωμένη, πρὸς τὸν Υἱὸν καὶ Θεόν σου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος β′. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἱεράρχην; τὸν καταλιπόντα τὰ πρόσκαιρα, καὶ δἰ ἀν ενδότου ἀσκήσεως, ἀρετῶν εἰς ὕψος ἀνελθόντα· Ὁσίων, τὸν ἀρνησίκοσμον ὁμόζηλον, καὶ τούτων, τὸν πνευματέμφορον ὁμότροπον· τὸν θαυμαστὸν Ἱεράρχην, Θεωνᾶν τὸν θεῖον, οὗ πρεσβείαις πρὸς τὸν Θεόν, κινδύνων λυτρούμεθα, οἱ πιστῶς αὐτὸν γεραίροντες.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν τὸν Ἱεράρχην; τὸν ἀσκητικῶς διαπρέψαντα, καὶ ποιμαντικῶς ἀναλάψαντα, ἐν Θεσσαλονίκης τῇ καθέδρᾳ· τὸν στύλον, Ὀρθοδοξίας τὸν ἀκλόνητον· τὸ ὕψος, διδασκαλίας, τὸ περίβλεπτον· τῆς νήσου Λέσβου τὸν γόνον, Θεωνᾶν τὸν θεῖον, οὗ πρεσβείαις πρὸς τὸν Θεόν, ῥυόμεθα θλίψεων, οἱ πιστῶς αὐτὸν γεραίροντες.

Ποίοις πνευματικοῖς ῥήμασιν, ἐπαινέσωμέν σε Ἱεράρχα; σὺ γὰρ ἐκ τῆς Λέσβου ὁρμώμενος, τῇ ἀσκητικῇ πολιτείᾳ σου, ἔλαμψας ὡς λύχνος ἐγκρατείας· διό περ, ἐν Ἐκκλησίας τῇ λυχνίᾳ σε, ἀξίως, ὦ Θεωνᾶ Χριστὸς ἀνύψωσεν· ὃν τοῦ φωτίσαι δυσώπει, ψυχὰς καὶ καρδίας, ἀληθείας τῷ φωτισμῷ, τῶν πόθῳ τὴν μνήμην σου, τὴν ἁγίαν ἑορτάζοντας.

Ποίοις εὐφραντικοῖς ᾄσμασι, μακαρίσωμέν σε Ἱεράρχα; σὺ γὰρ δἰ ἀγώνων ἀσκήσεως, ἑαυτὸν μονὴν ἀπετέλεσας, τῆς τοῦ Παρακλήτου ἐνεργείας· ἐντεῦθεν, Ἀναστασίας τῆς θεόφρονος, τὴν μάνδραν, ὦ Θεωνᾶ , ἀνῳκοδόμησας· μεθ᾽ ἧς Χριστὸν ἐκδυσώπει , τὸν δοξάσαντά σε, τοῦ

δωρήσασθαι τοῖς πιστοῖς, εἰρήνην καὶ ἔλεος, καὶ πταισμάτων τὴν συγχώρησιν.

Δόξα. Ἦχος δ′.

Λέσβου ἐξορμώμενος, πλείστους τόπους διήμειψας, ἀσκητικῶς ἀγωνιζόμενος, κατὰ τοῦ πονηροῦ κοσμοκράτορος, Θεωνᾶ παμμακάριστε· διό σου ὁ Θεός, τὰς ἀρετὰς ἀμειβόμενος, ἐν περιβλέπτῳ καθέδρᾳ, Ἀρχιερέων ἀνύψωσε, καὶ Ἐκκλησίας φωστῆρα ἀνέδειξε, τῆς εὐσεβείας τὸν φωτισμόν, τοῖς πέρασι διαλάμποντα, καὶ διασκεδάζοντα ἀσεβείας σκοτόμαιναν. Ὅθεν σήμερον οἱ πιστοί, τῆς δεδομένης σοι χάριτος, τὸν πλοῦτον θαυμάζοντες, τὴν μνήμην σου ἐπιτελοῦμεν, καὶ αἰτοῦμέν σε πρέσβυν, πρὸν τὴν Ἁγίαν Τριάδα θερμότατον.

Καὶ νῦν. Θεοτοκίον.

Ε᾿κ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ′ καὶ στ′ Ὠιδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ιγ′ Νοεμβρίου, ἐν τῇ μνήμῃ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάρια.

Χαίροις μοναζόντων καθηγητής, καὶ Ἀρχιερέων, ὑποτύπωσις ἀκριβής· χαίροις Πλωμαρίου, ὦ Θεωνᾶ ὁ γόνος, καὶ τῆς Θεσσαλονίκης, ποιμὴν χρηστότατος.

Δεῦρο τοῖς καλοῦσί σε εὐλαβῶς, σύμμαχος ἐν βίῳ, καὶ ὑπέρμαχος Θεωνᾶ, ῥυόμενος πάντας, ἐχθροῦ τῆς βασκανίας, κινδύνων νοσημάτων, δεινῶν καὶ θλίψεων.

*Στίχοι.*

*Πάτερ Θεωνᾶ, Κύριλλον ταῖς εὐχαῖς σου,*
*Ῥύου συμφορῶν πόθῳ ὑμνήσαντά σε.*